*ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν·*
*ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.*

**2** Strabo 14. 1. 4 p. 633 *αὗται μὲν δώδεκα Ἰωνικαὶ πόλεις, προσελήφθη δὲ ὕστερον καὶ Σμύρνα εἰς τὸ Ἰωνικόν, ἐναγαγόντων Ἐφεσίων· ἦσαν γὰρ αὐτοῖς σύνοικοι τὸ παλαιόν, ἡνίκα καὶ Σμύρνα ἐκαλεῖτο ἡ Ἔφεσος· καὶ Καλλῖνός που οὕτως ὠνόμακεν αὐτήν, Σμυρναίους τοὺς Ἐφεσίους καλῶν ἐν τῷ πρὸς τὸν Δία λόγῳ·*

*Σμυρναίους δ' ἐλέησον,*

**2a** *καὶ πάλιν·*

*μνῆσαι δ', εἴ κοτέ τοι μηρία καλὰ βοῶν*
*⟨Σμυρναῖοι κατέκηαν⟩.*

**3** Strabo 14. 1. 40 p. 647 (cf. ad Archil. 20) *Καλλῖνος μὲν οὖν ὡς εὐτυχούντων ἔτι τῶν Μαγνήτων μέμνηται καὶ κατορθούντων ἐν τῷ πρὸς τοὺς Ἐφεσίους πολέμῳ.*
Ath., Clem., v. ad Archil. l. c.

**4** St. Byz. p. 634 Meineke

*Τρήερας ἄνδρας ἄγων.*

**5(a)** Strabo 14. 1. 40 p. 648 *ἄλλης δέ τινος ἐφόδου τῶν Κιμμερίων μέμνηται πρεσβυτέρας ὁ Καλλῖνος, ἐπὰν φῇ·*

*νῦν δ' ἐπὶ Κιμμερίων στρατὸς ἔρχεται ὀβριμοεργῶν,*

*ἐν ᾗ τὴν Σάρδεων ἅλωσιν δηλοῖ.*

**(b)** Id. 13. 4. 8 p. 627 *φησὶ δὲ Καλλισθένης* (124 F 29) *ἁλῶναι*